τὸν Γοργίαν παραγίνεται ὁ Σωκράτης· ἐνταῦθα οὖν κατὰ τὸ προοίμιον τὰ πρόσωπά ἐστιν ταῦτα· Σωκράτης, Χαιρεφῶν, Καλλικλῆς. προλογίζει δὲ ὁ Καλλικλῆς καὶ λέγει τῷ Σωκράτει, ὅτι ὄντος πολέμου καὶ μάχης ἐπικειμένης ἔδει σε ὑστερῆσαι, ἐν γὰρ τοῖς τοιούτοις ἀπολιμπάνεσθαι καλόν, ἵνα μὴ ὡς εἰκὸς κατὰ τὸν πόλεμον προλαμβάνων εὑρεθείη πάσχων, νῦν δὲ ἐπιδείξεως οὔσης πῶς ὑστέρησας; ἐπιπλήττει οὖν καὶ ἐγκαλεῖ τῷ Σωκράτει μὴ εἰδὼς μήτε τὰ ἑαυτοῦ μέτρα μήτε τὰ τοῦ φιλοσόφου ἐπαναβεβηκότα· ὅρα τοίνυν πῶς ἐκ τῶν λόγων αὐτοῦ ἀναφαίνεται ἡ ζωὴ ἡ φιλήδονος· φησὶ γὰρ ὅτι εἰ ἦν πόλεμος, ἔδει σε ὑστερῆσαι, ἵνα μὴ φονευθῇς. τοῦτο δὲ φιλοσωμάτου ψυχῆς ἴδιον καὶ οὐδὲν ἐχούσης ἀνδρεῖον, μηδὲ πρὸς ἀρετὴν ὁρώσης. μάλιστα γὰρ οὐκ ἔδει ἐν πολέμῳ ὑστερῆσαι· τοῦτο γὰρ φυγοπτολέμου κατὰ τὴν ποίησιν καὶ ἀνάλκιδος ἔργον, ὡς οὖν φιλοσώματος προφέρει τὸν λόγον. ἐπεὶ οὖν μετὰ τὸ ἐπιδείξασθαι τὸν Γοργίαν, εἴτε ἐν τῷ οἴκῳ τοῦ Καλλικλέους εἴτε καὶ δημοσίᾳ, ἦλθεν ὁ Σωκράτης μετὰ τοῦ Χαιρεφῶντος καὶ εὗρεν τὸν Καλλικλέα πρὸ τῶν θυρῶν τῶν ἰδίων· ἐρωτᾷ αὐτὸν κατὰ τὴν οἰκείαν ζωὴν ὁ Καλλικλῆς καὶ λέγει· ὡς ἐν πολέμῳ ἦλθες, ὡς ἐν μάχῃ ἦλθες, ὡς ἂν τῶν ἐπὶ πόλεμον τολμώντων μεταλαμβανόντων τὸ ὑστερίζειν· φιλοσωμάτων δὲ τοῦτο. οὕτω γὰρ ἂν οὐδὲ ὑπὲρ πατρίδος οὐδὲ ὑπὲρ φίλων ἀγωνισαίμεθα.

3 ἄξιον δὲ ζητῆσαι, διὰ ποίαν αἰτίαν μετὰ τὴν ἐπίδειξιν ἦλθεν καὶ οὐκ ἐν αὐτῇ τῇ ἐπιδείξει· φαμὲν ὅτι εἰ ἦλθεν ἐν αὐτῇ τῇ ἐπιδείξει, δυοῖν θάτερον ἐγίνετο· ἢ γὰρ ἀνάγκην εἶχεν σιωπᾶν καὶ συγκατατίθεσθαι τοῖς ψιλῶς λεγομένοις παρὰ Γοργίου· ἀλλότριον δὲ τοῦτο ἐπιστήμονος· ἢ εἰ μὴ ἐσιώπα, ἐμποδίου καὶ συγχύσεως αἴτιος ἐγίνετο ἀεὶ ἀνακόπτων καὶ θέλων διαλέγεσθαι. ἄλλως τε καὶ ὡς αὐτός φησιν ἐν ἀγορᾷ διέτριβεν διὰ μειζόνων πραγμάτων ὠφέλειαν ὡς μαθησόμεθα. ἄμεινον δὲ τῶν κρειττόνων ἀντιλαμβάνεσθαι ἢ πρὸς τὰ χείρονα τρέχειν· ἰστέον δὲ ὅτι ἀπαίδευτον βίον ἔχων

---

24 mg. ζήτημα 25 mg. λύσις

---

15 προφέρει e προσφέρει corr. M^c